ἢ ὀρέγεσθαι

αὐτὴν τὴν ἀρετὴν παρακολουθοῦντας ἀποδέχεσθαι. μά-
λιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν
ἔργων, εἰ καταμάθοις ὅτι καὶ τὰς ἡδονὰς ἐκ τούτων
μάλιστα γνησίως ἔχομεν. ἐν μὲν γὰρ τῷ ῥαθυμεῖν
καὶ τὰς πλησμονὰς ἀγαπᾶν, εὐθὺς αἱ λῦπαι ταῖς ἡδο-
ναῖς παρατετάχασι. τὸ δὲ περὶ τὴν ἀρετὴν φιλο-
πονεῖν, καὶ σωφρόνως τὸν αὑτοῦ βίον οἰκονομεῖν,
ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέρας ἀπο-
δίδωσι. κἀκεῖ μὲν πρότερον ἡσθέντες, ὕστερον
ἐλυπήθημεν. ἐνταῦθα δὲ μετὰ τὰς λύπας, τὰς
ἡδονὰς ἔχομεν. ἐν πᾶσι δὲ τοῖς ἔργοις, οὐχ οὕτω τῆς
ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς, αἴ-
σθησιν λαμβάνομεν. τὰ γὰρ πλεῖστα τῶν περὶ
τὸν βίον, οὐ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν. ἀλλὰ
τῶν ἀποβαινόντων ἕνεκα διαπονοῦμεν. ἐνθυμοῦ
δ' ὅτι τοῖς μὲν φαύλοις, ἐνδέχεται τὰ τυχόντα πρά-
ττειν. εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται
τὴν ὑπόθεσιν. τοῖς δὲ σπουδαίοις, οὐχ οἷόν τε τῆς
ἀρετῆς ἀμελεῖν, διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐπιπλή-
ττοντας. πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρ-
τάνοντας, ὡς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν
δὲ τῶν τυχόντων διαφέροντας. εἰκότως. ὅπου γὰρ τοὺς
τῷ λόγῳ μόνον ψευδομένους ἀποδοκιμάζομεν,
ἦπου γε τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους,
οὐ φαύλους εἶναι φήσομεν. δικαίως δ' ἂν τοὺς
τοιούτους ὑπολάβοιμεν μὴ μόνον εἰς αὑτοὺς ἁμαρ